pueris eſt. Et hac re differunt ipſi ab aliis animalibus, quòd homo eſt animal maximè accommodatum ad imitandum. Et perceptiones faciunt primas per imitationem. Et gaudent omnes rebus imitatione expreſſis. ſignum autem huius rei eſt id, quod contingit in operibus opificum, quæ enim ipſa moleſtè cernimus, horum imagines exactiſſimè expreſſas dum ſpectamus, gaudemus, vt ferarum formas abiectiſſimarum & cadauerum. Ac ſignum huius rei etiam eſt, quòd diſcere non ſolum philoſophis iucundiſſimum eſt, ſed etiam aliis ſimiliter, qui tamen parum eius participes ſunt. ob id enim gaudent cernentes imagines, quia contingit ſpectantes diſcere & ratiocinari, quid vnumquodque ſit, vt hunc illum eſſe. Quoniam niſi contigerit eum prius vidiſſe, non propter id, quod imitatione expreſſum eſt, efficiet voluptatem, ſed propter artificium, aut colorem, aut talem aliquam cauſam. Verùm cùm ſecundum naturam ſit in nobis ipſum imitari, & harmonia, & numerus (nam metra particulas eſſe numerorum manifeſtum eſt) à principio, qui natura apti erant ad hæc ipſa maximè, paullatim promouentes genuerunt poeſim ex iis, quæ ſubitò dicebantur. Diuiſa autem eſt ſecundum proprios mores poeſis. Nam grandiores honeſtas imitabantur actiones ac huiuſmodi hominum. humiliores verò malorum, facientes primùm vituperationes, quemadmodum alteri hymnos & encomia. Atque eorum quidem, qui ante Homerum fuerunt, nullius poſſumus nominare poema tale. Veriſimile autem eſt, multos eſſe. At ab Homero exorſis licet: vt eſt illius Margites, & talia. Quibus ſecundum id, quod conueniebat, iambicum acceſſit metrum. itáque & iambicum vocatur nunc, quòd & in hoc metro conuicia inter ſe exercebant: & fuerunt ex priſcis alij quidem heroicorum, alij verò iamborum poetæ. Quemadmodum autem & in grauibus maximè poeta fuit Homerus (ſolus enim fuit, non ſolum quia bene, ſed etiam quia imitationes dramaticè fecit) ſic & Comœdiæ figuras primus ſubmonſtrauit: non vituperationem, ſed ridiculum dramate complectens. Nam Margites proportionem habet, vt Ilias, & Odyſſea ad Tragœdias, ſic & ipſe ad Comœdias. Cùm autem apparuiſſet Tragœdia, & Comœdia qui ad vtranque poeſim ferebantur ſecundum propriam naturam, partim quidem pro Iambicis Comici facti ſunt,

A ποις ἐκ παίδων ἐστὶ, καὶ τούτῳ διαφέρουσι τῶν ἄλλων ζώων, ὅτι μιμητικώτατόν ἐστι. καὶ τὰς μαθήσεις ποιεῖται διὰ μιμήσεως τὰς πρώτας, καὶ τὸ χαίρειν τοῖς μιμήσασι πάντας. σημεῖον δὲ τούτου τὸ συμβαῖνον ἐπὶ τῶν ἔργων. ἃ γὰρ αὐτὰ λυπηρῶς ὁρῶμεν, τούτων τὰς εἰκόνας τὰς μάλιστα ἠκριβωμένας, χαίρομεν θεωροῦντες· οἷον θηρίων τε μορφὰς τῶν B ἀγριωτάτων, καὶ νεκρῶν. αἴτιον δὲ καὶ τούτου, ὅτι μανθάνειν οὐ μόνον τοῖς φιλοσόφοις ἥδιστον, ἀλλὰ καὶ τοῖς ἄλλοις ὁμοίως· ἀλλ᾽ ἐπὶ βραχὺ κοινωνοῦσιν αὐτοῦ. διὰ γὰρ τοῦτο χαίρουσι τὰς εἰκόνας ὁρῶντες, ὅτι συμβαίνει θεωροῦντας μανθάνειν καὶ συλλογίζεσθαι τί ἕκαστον· οἷον, ὅτι οὗτος ἐκεῖνος· ἐπεὶ ἐὰν μὴ τύχῃ προεωρακὼς, οὐ διὰ μίμημα ποιήσει τὴν ἡδονὴν, ἀλλὰ διὰ τὴν ἀπερ- C γασίαν, ἢ τὴν χροιὰν, ἢ διὰ τοιαύτην τινὰ ἄλλην αἰτίαν. κατὰ φύσιν δὲ ὄντος ἡμῖν τοῦ μιμεῖσθαι, καὶ τῆς ἁρμονίας καὶ τοῦ ῥυθμοῦ (τὰ γὰρ μέτρα, ὅτι μόρια τῶν ῥυθμῶν ἐστι, φανερὸν) ἐξ ἀρχῆς οἱ πεφυκότες πρὸς αὐτὰ μάλιστα κατὰ μικρὸν προάγοντες, ἐγέννησαν τὴν ποίησιν ἐκ τῶν αὐτοσχεδιασμάτων. διεσπάσθη δὲ κατὰ τὰ οἰκεῖα ἤθη ἡ ποίη- D σις. οἱ μὲν γὰρ σεμνότεροι, τὰς καλὰς ἐμιμοῦντο πράξεις, καὶ τὰς τῶν τοιούτων τύχας· οἱ δὲ εὐτελέστεροι, τὰς τῶν φαύλων, πρῶτον ψόγους ποιοῦντες, ὥσπερ ἕτεροι ὕμνους καὶ ἐγκώμια. τῶν μὲν οὖν πρὸ Ὁμήρου οὐδενὸς ἔχομεν εἰπεῖν τοιοῦτον ποίημα. εἰκὸς δὲ εἶναι πολλοῖς. ἀπὸ δὲ Ὁμήρου ἀρξαμένοις ἐστίν· οἷον, ἐκείνου ὁ Μαργίτης, καὶ τὰ E τοιαῦτα, ἐν οἷς καὶ τὸ ἁρμόττον ἰαμβεῖον ἦλθε μέτρον. διὸ καὶ ἰαμβεῖον καλεῖται νῦν, ὅτι ἐν τῷ μέτρῳ τούτῳ ἰάμβιζον ἀλλήλοις. καὶ ἐγένοντο τῶν παλαιῶν, οἱ μὲν ἡρωϊκῶν, οἱ δὲ ἰάμβων ποιηταί. ὥσπερ δὲ καὶ τὰ σπουδαῖα μάλιστα ποιητὴς Ὅμηρος ἦν (μόνος γὰρ οὐχ ὅτι εὖ, ἀλλ᾽ ὅτι καὶ μιμήσεις δραματικὰς ἐποίησεν,) οὕτω καὶ τὰ τῆς κωμῳδίας σχήματα πρῶτος ὑπέδειξεν, οὐ ψόγον, ἀλ- F λὰ τὸ γελοῖον δραματοποιήσας. ὁ γὰρ Μαργίτης ἀνάλογον ἔχει, ὥσπερ Ἰλιὰς καὶ Ὀδύσσεια πρὸς τὰς τραγῳδίας, οὕτω καὶ οὗτος πρὸς τὰς κωμῳδίας. οἱ δ᾽ ἐφ᾽ ἑκατέραν τὴν ποίησιν ὁρμῶντες κατὰ τὴν οἰκείαν φύσιν, οἱ μὲν ἀντὶ τῶν ἰάμβων, κωμῳδοποιοὶ ἐγένοντο· οἱ δὲ αν-